Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: nwu-aa

*Ἀπολλώνιος ὁ Τυανεύς* · Apollonius of Tyana II

# Life of Aeschines

*Βίος Αἰσχίνου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose
**Affiliation:** Pythagorean

[45] Ἀπολλωνίου περὶ Αἰσχίνου ῥήτορος Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, τῶν δήμων Κοθωκίδης, υἱὸς δὲ Ἀτρομήτου, ὅν φασι πρότερον Τρόμητα καλούμενον ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι, γεγονέναι δὲ τὸ κατ’ ἀρχὰς δοῦλον, καὶ πέδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ, εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. Μητρὸς δὲ ἦν ὁ Αἰσχίνης Γλαυκοθέας ἤ, ὡς ἔνιοι, Γλαυκίδος, ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ, ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. Γεγονὼς δ’ ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους τοῦ τὰς ἀλαβαστοθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι, ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ· ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον· ἔπειτα ἀποστὰς τούτου τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ ἐν Κολλυτῷ ποτε Οἰνόμαον ὑποκρινόμενος κατέπεσε. Μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. Καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πόλεμον πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. Ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον· ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ’ ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῷ Ἀθηναίων Ὑπερείδη λέγειν προσέταξε. Φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι. Ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. Λέγεται δὲ ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. Αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὑτοῦ ἐν τῷ περὶ παραπρεσβείας φησίν, ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους τοῦ Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, νέος δ’ ὢν ἤθλει, καὶ χρόνῳ ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα, καὶ στρατευόμενος ἐν Ἀσίᾳ ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας συγκατήγαγε τὸν δῆμον· βιῶσαι δ’ ἀναμαρτήτως, εἶναι

δ’ αὐτὸν ἐτῶν ἐνενήκοντα τεσσάρων. Φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. Τῶν δὲ ἀδελφῶν αὐτοῦ Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν καὶ μετ’ Ἰφικράτους ἐστρατεῦσθαι καὶ συνεχῶς στρατηγεῖν, Ἀφόβητον δὲ τὸν νεώτατον αὐτῶν ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι.

Περὶ δὲ ἑαυτοῦ φησιν ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν· οὗτοι γὰρ μεθ’ ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα νόμου· ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ’ Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλειοῦντα πομπήν, κινδύνου γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν, ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ’ ἐστεφανώθη μαχόμενος. Ἐτελεύτησε δ’ Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας. ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οε′. Τριῶν δὲ ὄντων λόγων τῶν ὑπ’ αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος ἐστί, τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται· τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει ὁ κατὰ Τιμάρχου· ἐν γὰρ τῷ μετ’ αὐτόν, τῷ περὶ τῆς παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org